# 11 IUNIE

# SLUJBA SF.APOSTOL BARTOLOMEU

MINEIUL-GR

www.tezaurliturgic.ro



# Ἀκολουθία Ἀποστόλου ΒΑΡΘΟΛΟΜΑΙΟΥ

Ψαλλομένη τῇ 11η Ἰουνίου

Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου

## ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

*Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια. Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.*

Φωτὶ ἐλλαμθεὶς τῷ νοητῷ, τοῦ Ἁγίου Πνεύματος, Βαρθολομαίε Ἀπόστολε, φωστὴρ ὡς μέγιστος, ἔλαμψας τῷ κόσμῳ, τὸν τῆς δόξης Ἥλιον, Χριστὸν ἀνακηρύττων τοῖς ἔθνεσιν· Ὃν καθικέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Φωνῆς ἐπακούσας τοῦ Χριστοῦ, Τούτῳ ἠκολούθησας, γνώμῃ εὐθείᾳ Ἀπόστολε, λιπὼν τὰ πρόσκαιρα, τῆς οἰκονομίας, Αὐτοῦ τὸ μυστήριον, μυούμενος τὸ μέγα καὶ γέγονας, μύστης οὐράνιος· τῆς Αὐτοῦ γὰρ σωματώσεως, ὑπηρέτης, ὤφθης ἐνθεώτατος.

Τὸ Πνεῦμα τὸ Ἅγιον τὸ πρὶν, ἐνδημῆσαν δέδεξαι, πυρίνῃ γλώσσῃ Ἀπόστολε, ὑπὲρ κατάληψιν, ἐν τῷ ὑπερῴῳ, καὶ φωστὴρ οὐράνιος, σαφῶς Βαρθολομαῖε γενόμενος, πᾶσιν ἐκήρυξας, τοῦ Χριστοῦ τὸ Εὐαγγέλιον, τοὺς ἐν σκότει, φωτίσας τοῖς λόγοις σου.

Χριστῷ τῷ Δεσπότῃ πειθαρχῶν, ὁλικῶς Ἀπόστολε, ἀνδρειοτάτως καθήλωσαι, Σταυρῷ μακάριε, καὶ τὸ ἱερόν σου, λείψανον κατέπλευσε, δυνάμει τοῦ τὰ πάντα δεσπόζοντος, εἱς Δύσιν Ἅγιε, ἀναβλύζον χάριν ἄφθονον, τοῖς ἐν πίστει, καὶ πόθῳ προστρέχουσι.

*Δόξα. Ἦχος β΄.*

Ἀποστολικῆς δωρεᾶς ἠξιωμένος, τοῦ Εὐαγγελίου ἐργάτης δόκιμος ὤφθης, ὡς Χριστοῦ Ἀπόστολος, Βαρθολομαῖε μακάριε· τὰ θεῖα γὰρ καλῶς μυηθεὶς, τοῖς ἐν πᾶσιν ἐκύρηξας σωτηρίαν, διὰ Χριστοῦ τοῦ Σωτῆρος· ᾧ πρέσβευε δεόμεθα, ὑπὲρ τῶν τιμώντων σε.

*Καὶ νῦν. Θεοτοκίον.*

Τὴν πᾶσαν ἐλπίδα μου εἱς Σὲ ἀνατίθημι, ὦ Μήτηρ τοῦ Θεοῦ· φύλαξον ἡμᾶς ὑπὸ τὴν σκέπην Σου.

*Ἀπόστιχα. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.*

Κήρυξ περιφανής, Ἀπόστολε ἐδείχθης, Χριστοῦ Βαρθολομαῖε, καὶ Τούτου ἐν τῷ κόσμῳ, ἐκήρυξας τὴν σάρκωσιν.

*Στ.: Εἱς πᾶσαν τὴν γὴν ἐξῆλθεν...*

Θαύματα ἐκτελῶν, Χριστοῦ ἐν τῇ δυνάμει, εἱς πίστιν τὴν ἁγίαν, Ἀπόστολε ἐνῆγες, τοὺς ἐν τῇ πλάνῃ πρότερον.

*Στ.: Οἱ οὐρανοὶ διηγοῦνται...*

Σταύρωσιν ὑποστάς, ὡς ὁ Σωτὴρ τῶν ὅλων, σοφὲ Βαρθολομαῖε, τῆς Τούτου ἠξιώθης, ὑπερφυοῦς λαμπρότητος.

*Δόξα. Τριαδικόν.*

Σύνθρονε Παντουργέ, Πάτερ Υἱὲ καὶ Πνεῦμα, ὁμότιμε Θεότης, ἐλέησον τὸν κόσμον, λιταῖς τοῦ Ἀποστόλου Σου.

*Καὶ νῦν. Θεοτοκίον.*

Σάρκα ἐξ τῶν ἁγνῶν, αἱμάτων Σου ὁ Λόγος, λαβῶν διπλοῦς ὡράθη, καὶ τὸν Βαρθολομαῖον, Παρθένε ἐθαυμάστωσεν.

*Νῦν Ἀπολύεις, Τρισάγιον, Ἀπολυτίκιον. Ἦχος γ΄.*

Ἀπόστολε ἅγιε Βαρθολομαῖε, πρέσβευε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

*Δόξα. Ἕτερον. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Χριστῷ ἠκολούθησας, Βαρθολομαῖε σοφέ, καὶ Τούτου Ἀπόστολος, καὶ ὑπηρέτης σοφός, σαφῶς ἐχρημάτισας· ὅθεν τῆς εὐσεβείας, κατασπείρας τὸν λόγον, σύμμορφος ἀνεδείχθης, τῶν παθῶν τοῦ Κυρίου· ᾧ πρέσβευε δεόμεθα, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον.*

Τὸ ἀπ᾽ αἰῶνος ἀπόκρυφον, καὶ Ἀγγέλοις ἄγνωστον μυστήριον, διὰ Σοῦ Θεοτόκε τοῖς ἐπὶ γῆς πεφανέρωται· Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος· δι᾽ οὗ ἀναστήσας τὸν Πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

*Ἀπόλυσις.*

# ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

*Μετὰ τὸν Προοιμιακόν τὸ* Μακάριος Ἀνήρ. *Εἰς δὲ τὸ* Κύριε ἐκέκραξα *ἱστῶμεν Στίχους ς' καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος δ'. Ὡς γενναῖον ἐν Μάρτυσιν.*

Τῇ σαγήνῃ τῆς γλώττης σου, θεορρῆμον Ἀπόστολε, ἐκ βυθοῦ ἀνήγαγες ματαιότητος, καὶ χαλεπῆς ἀθεότητος, τοῦ κόσμου τὰ πέρατα, καὶ προσήγαγες Χριστῷ, τῷ Θεῷ διὰ πίστεως, τῷ τοιαύτην σοι, δεδωκότι τὴν χάριν ὡς ἐνθέῳ, μαθητῇ καὶ μυστολέκτῃ, Βαρθολομαῖε Ἀπόστολε.

Ὁ τῆς δόξης σε ἥλιος, Ἰησοῦς ὁ Θεὸς ἡμῶν, ὡς ἀκτῖνα ἔνδοξε ἐξαπέστειλεν, εἰς τὰ τοῦ κόσμου πληρώματα, συντόνως ἐλαύνουσαν, ἀθεΐας τὴν ἀχλύν, καὶ φωτίζουσαν ἅπαντας, τοὺς καθεύδοντας, ἐν νυκτὶ ἀγνωσίας, οὓς εἰργάσω, τῆς ἡμέρας κληρονόμους, Βαρθολομαῖε θεόσοφε.

Καθυπείκων τοῖς νεύμασιν, οὗ τῷ νεύματι ἅπαντα, καθυπείκει Τοῦτόν τε ἐκμιμούμενος, ὡς ἀληθείας διδάσκαλον, θανάτου ποτήριον, διὰ πάθους σταυρικοῦ, ἀγαλλόμενος ἔπιες, καὶ παρίστασαι, ἐφετῶν ἀκροτάτῳ Ἀποστόλοις, καὶ Ἀγγέλοις συγχορεύων, Βαρθολομαῖε ἀοίδιμε.

*Ἕτερα. Ἔδωκας σημείωσιν.*

Ἔσπευσας ὡς ἤκουσας, τοῦ Διδασκάλου τοῖς ῥήμασι, καὶ Ἀπόστολος ἔνθεος, Αὐτοῦ ἐχρηματισας, καὶ μύστης τῆς δόξης, Αὐτοῦ τῆς ἀῤῥήτου, Βαρθολομαῖε ἱερέ, τὰ ὑπὲρ λόγον θεῖα μυστήρια, Αὐτοῦ μυσταγωγούμενος, τῆς ἀπορρήτου κενώσεως, πολιτείας λαμπρότητι, διαλάμπων τοῖς ἅπασι.

Λόγῳ τῆς σοφίας σου, καὶ διδαγμάτων λαμπρότητι, καὶ θαυμάτων δυνάμεσιν, ὡς ἥλιος ἔλαμψας, τοῖς ἐν σκότει πλάνης, οὓς καὶ καταυγάσας, Βαρθολομαῖε ἱερέ, τούτοις προσήγαγες τῷ Παντάνακτι, ὡς λογικὸν ὀψώνιον, καὶ τῶν καμάτων τὰ ἔπαθλα, ἐκ χειρὸς τοῦ Κυρίου σου, ἐκομίσω πανεύφημε.

Σταύρωσιν ὑπέμεινας, Βαρθολομαῖε Ἀπόστολε, τὸν Σωτῆρα μιμούμενος, ἐντεῦθεν δεδόξασαι, δόξῃ ἀκηράτῳ, τῆς ἀθανασίας, καὶ λείψανόν σου τὸ σεπτόν, διὰ θαλάσσης εἰς Δύσιν ἔπλευσεν, ἐκπλῆττον τοὺς θεόφρονας, τῷ παραδόξῳ θεάματι, καὶ πηγάζον ἰάματα, τοῖς ἐν πίστει προστρέχουσι.

*Δόξα. Ἦχος πλ. β΄.*

Τοῦ Διδασκάλου Χριστοῦ, ὑπείκων τοῖς λόγοις, εἰς ἔθνη μακρὰν ἀπεστάλης, τοῖς πεπλανημένοις κηρύξαι τὴν αἰώνιον λύτρωσιν, Βαρθολομαῖε Ἀπόστολε· τοῦ Παρακλήτου γὰρ ἐνδεδυμένος τὴν δύναμιν, ξένα καὶ παράδοξα εἰργάσω, καὶ ἀφωτίστοις λαοῖς, τὸ φῶς τῆς εὐσεβείας ἀνέτειλας· καὶ διὰ Σταυροῦ, Χριστοῦ τὴν ἔγερσιν δοξάσας, τῆς αἰωνίου

δόξης ἠξίωσαι, ὥς ὁ Σωτὴρ ἀπεφήνατο. Αὐτὸν ἱκέτευε δεόμεθα, Ἀπόστολε ἔνδοξε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον.*

Τὶς μὴ μακαρίσει Σε Παναγία Παρθένε; Τὶς μὴ ἀνυμνήσει Σου, τὸν ἀλόχευτον τόκον; Ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ Αὐτὸς ἐκ Σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.*

*Καθολικῆς Α΄ Ἐπιστολῆς Ἰωάννου τὸ Ἀνάγνωσμα (Κεφ. γ΄. 21).*

Ἀγαπητοί, ἐὰν ἡ καρδία ἡμῶν μὴ καταγινώσκῃ ἡμῶν, παῤῥησίαν ἔχομεν πρὸς τὸν Θεόν· καὶ ὅ ἐὰν αἰτῶμεν, λαμβάνομεν παρ' Αὐτοῦ, ὅτι τᾶς ἐντολὰς Αὐτοῦ τηροῦμεν, καὶ τὰ ἀρεστὰ ἐνώπιον Αὐτοῦ ποιοῦμεν. Καὶ αὕτη ἐστὶν ἡ ἐντολὴ Αὐτοῦ, ἵνα πιστεύσωμεν τῷ ὀνόματι τοῦ Υἱοῦ Αὐτοῦ Ἰησοῦ Χριστοῦ, καὶ ἀγαπῶμεν ἀλλήλους, καθὼς ἔδωκεν ἐντολὴν ἡμῖν. Καὶ ὁ τηρῶν τὰς ἐντολὰς Αὐτοῦ, ἐν Αὐτῷ μένει, καὶ Αὐτὸς ἐν αὐτῷ· καὶ ἐν τούτῳ γινώσκομεν,

ὅτι μένει ἐν ἡμῖν, ἐκ τοῦ Πνεύματος οὗ ἡμῖν ἔδωκεν. Ἀγαπητοί, μὴ παντὶ πνεύματι πιστεύετε, ἀλλὰ δοκιμάζετε τὰ πνεύματα, εἰ ἐκ τοῦ Θεοῦ ἐστιν· ὅτι πολλοὶ ψευδοπροφῆται ἐξεληλύθασιν εἰς τὸν κόσμον. Ἐν τούτῳ γινώσκεται τὸ Πνεῦμα τοῦ Θεοῦ· πᾶν πνεῦμα, ὅ ὁμολογεῖ Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθότα, ἐκ τοῦ Θεοῦ ἐστι· καὶ πᾶν πνεῦμα ὅ μὴ ὁμολογεῖ τὸν Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθότα, ἐκ τοῦ Θεοῦ οὐκ ἔστι· καὶ τοῦτο ἐστι τὸ τοῦ ἀντιχρίστου, ὅ ἀκηκόατε ὅτι ἔρχεται, καὶ νῦν ἐν τῷ κόσμῳ ἐστὶν ἤδη. Ὑμεῖς ἐκ τοῦ Θεοῦ ἐστε τεκνία, καὶ νενικήκατε αὐτούς, ὅτι μείζων ἐστὶν ὁ ἐν ὑμῖν, ἤ ὁ ἐν τῷ κόσμῳ. Αὐτοὶ ἐκ τοῦ κόσμου εἰσί· διὰ τοῦτο ἐκ τοῦ κόσμου λαλοῦσι, καὶ ὁ κόσμος αὐτῶν ἀκούει. Ἡμεῖς ἐκ τοῦ Θεοῦ ἐσμέν. Ὁ γινώσκων τὸν Θεόν, ἀκούει ἡμῶν· ὅς οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, οὐκ ἀκούει ἡμῶν.

*Καθολικῆς Α΄ Ἐπιστολῆς Ἰωάννου τὸ Ἀνάγνωσμα (Κεφ. δ΄. 11).*

Ἀγαπητοί, εἰ οὕτως ὁ Θεὸς ἠγάπησεν ἡμᾶς, καὶ ἡμεῖς ὠφείλομεν ἀλλήλους ἀγαπᾶν. Θεὸν οὐδεὶς πώποτε τεθέαται· ἐάν ἀγαπῶμεν ἀλλήλους, ὁ Θεὸς ἐν ἡμῖν μένει, καὶ ἡ ἀγαπὴ Αὐτοῦ τετελειωμένη ἐστὶν ἐν ἡμῖν. Ἐν τούτῳ γινώσκομεν, ὅτι ἐν Αὐτῷ μένομεν, καὶ Αὐτὸς ἐν ἡμῖν, ὅτι ἐκ τοῦ Πνεύματος Αὐτοῦ δέδωκεν ἡμῖν. Καὶ ἡμεῖς τεθεάμεθα καὶ μαρτυροῦμεν, ὅτι ὁ Πατὴρ ἀπέσταλκε τὸν Υἱὸν Αὐτοῦ Σωτῆρα τοῦ κόσμου. Ὅς ἄν ὁμολογήσῃ, ὅτι Ἰησοῦς ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ

Θεὸς ἐν αὐτῷ μένει, καὶ αὐτὸς ἐν τῷ Θεῷ. Καὶ ἡμεῖς ἐγνώκαμεν καὶ πεπιστεύκαμεν τὴν ἀγάπην, ἥν ἔχει ὁ Θεὸς ἐν ἡμῖν. Ὁ Θεὸς ἀγάπη ἐστι· καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ, ἐν τῷ Θεῷ μένει, καὶ ὁ Θεὸς ἐν αὐτῷ.

*Καθολικῆς Α΄ Ἐπιστολῆς Ἰωάννου τὸ Ἀνάγνωσμα (Κεφ. δ΄. 20-ε΄ 1).*

Ἀγαπητοί, ἐὰν τις εἴπῃ, ὅτι ἀγαπῶ τὸν Θεόν, καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῇ, ψεύστης ἐστίν· ὁ γὰρ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ ὅν ἑώρακε, τὸν Θεὸν ὅν οὐχ ἑώρακε πῶς δύναται ἀγαπᾶν; Καὶ ταύτην τήν ἐντολὴν ἔχομεν ἀπ’ Αὐτοῦ, ἵνα ὁ ἀγαπῶν τὸν Θεόν, ἀγαπᾷ καὶ τὸν ἀδελφὸν αὐτοῦ. Πᾶς ὁ πιστεύων ὅτι Ἰησοῦς ἐστὶν ὁ Χριστός, ἐκ τοῦ Θεοῦ γεγέννηται· καὶ πᾶς ὁ ἀγαπῶν τὸν γεννήσαντα, ἀγαπᾷ καὶ τὸν γεγεννημένον ἐξ Αὐτοῦ. Ἐν τούτῳ γινώσκομεν, ὅτι ἀγαπῶμεν τὰ τέκνα τοῦ Θεοῦ, ἵνα τὰς ἐντολὰς Αὐτοῦ τηρῶμεν καὶ αἱ ἐντολαὶ Αὐτοῦ βαρεῖαι οὐκ εἰσίν. Ὅτι πᾶν τὸ γεγεννημένον ἐκ τοῦ Θεοῦ νικᾷ τὸν κόσμον· καὶ αὕτη ἐστὶν ἡ νίκη ἡ νικήσασα τὸν κόσμον, ἡ πίστις ἡμῶν. Τὶς ἐστὶν ὁ νικῶν τὸν κόσμον, εἰ μὴ ὁ πιστεύων ὅτι Ἰησοῦς ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ.

*Εἰς τὴν Λιτὴν, ἰδιόμελα. Ἦχος α΄.*

Τὸ φῶς τὸ ἀληθινόν, παρὰ τοῦ Χριστοῦ δεξάμενος, ὡς φῶς τοῦ κόσμου ἔλαμψας, Βαρθολομαῖε Ἀπόστολε· τῇ τοῦ Δεσπότου γὰρ ἐγγύτητι, τῶν ὑπὲρ λόγον τὴν μύησιν ἐδέξω, καὶ

ἀμυήτους λαοὺς ἐμυσταγώγησας, τῆς εὐσεβείας τὸ μέγα μυστήριον· καὶ καλῶς διαγαγὼν τὴν δεδομένην ἀξίαν, τῆς ἄνω βασιλείας ἠξίωσαι, παρὰ Χριστοῦ τοῦ Θεοῦ, καὶ Σωτῆρος τῶν ψυχῶν ἡμῶν.

*Ἦχος β΄.*

Τῇ τοῦ Σωτῆρος κλήσει, ἀκολουθήσας νουνεχῶς, τὰ ἐν νόμῳ προτυπώματα παρῆλθες, καὶ τῷ φωτὶ τῆς χάριτος προσέδραμες, ὅλῃ ψυχῇ Ἀπόστολε· καὶ τῷ Διδασκάλῳ ἑπόμενος, παρ᾽ Αὐτοῦ τὰ κρείττονα μεμύησαι, καὶ τὴν τοῦ κόσμου ἀνάπλασιν, καὶ σωτηρίαν τῶν βροτῶν, διὰ πλῆθος οἰκτιρμῶν. Ἀλλ᾽ ὦ Βαρθολομαῖε μακάριε, Ἀποστόλων καύχημα, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Ἦχος γ΄.*

Ἀποστολικοῖς χαρίσμασι κεκοσμημένος, ὡς τὸ Παράκλητον Πνεῦμα, ἐν εἴδει πυρός, ἐν τῷ ὑπερῴῳ δεξάμενος, τῆς ἀσεβείας τὴν ἄκανθαν κατέφλεξας, καὶ τῶν ἐθνῶν τὰς ἀγέλας, σεσωσμένας Χριστῷ προσήγαγες, τῷ ἱερῷ σου κηρύγματι, Βαρθολομαῖε Ἀπόστολε· εἰς πᾶσαν γὰρ τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν κατορθωμάτων σου, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα τῆς γλώττης, πρὸς δόξαν Χριστοῦ, τοῦ Σωτῆρος τῶν ψυχῶν ἡμῶν.

*Ἦχος δ΄.*

Τῷ ἀρότρῳ τοῦ Λόγου, τὰς ψυχικὰς ἀρούρας γεωργῶν, πολύχοον καρπὸν Χριστῷ προσήγαγες, ὡς γεωργὸς πρακτικώτατος, Βαρθολομαῖε Ἀπόστολε· τῆς γὰρ ἀσεβείας τὴν ἄκανθαν ἐξέτεμες, καὶ εὐσεβείας τὰ

ἄνθη περιεποιήσω, ἐν ταῖς καρδίαις τῶν πιστῶν, τῶν δεξαμένων τῆς θείας γνώσεως τὴν ὀσμὴν τῶν διδαχῶν σου τῇ χάριτι, ἔνδοξε.

*Ἦχος πλ. β΄. (Δοξαστικὸν τῶν Στιχηρῶν τοῦ Μηνιαίου).*

Τοὺς τῆς εὐσεβείας ἀληθεῖς κήρυκας, καὶ παμφαεῖς τῆς Ἐκκλησίας ἀστέρας, ὕμνοις ἐγκωμίων τιμήσωμεν, Βαρθολομαῖον καὶ Βαρνάβαν, τοὺς τῶν πιστῶν διδασκάλους, καὶ μύστας τοῦ Σωτῆρος Χριστοῦ. Οὗτοι γὰρ τὸν τῆς ἀληθείας λόγον σπείραντες, ἐν ταῖς καρδίαις τῶν πιστῶν, πᾶσι καρποφορίαν διένειμαν, καὶ πρεσβεύουσι Χριστῷ, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Δόξα. Ἦχος δ΄.*

Τὸν Ἀπόστολον Χριστοῦ, καὶ δωδεκάδος τὸν ἕνα, Βαρθολομαῖον τὸν πανεύφημον, ὡς τοῦ Εὐαγγελίου δοκιμώτατον ἐργάτην, ὕμνοις καὶ ᾠδαῖς εὐφημήσωμεν· ἀποστολικῇ γὰρ εὐκληρίᾳ ἐκλάμπων, μαρτυρικοῖς ἀγῶσι Χριστὸν ἐδόξασε· καὶ τῇ τοῦ πάθους ὁμοιότητι, σύμμορφος Αὐτοῦ ἐδείχθη καὶ τῆς δόξης συμμέτοχος, καὶ πρεσβεύει ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον.*

Ἐκ παντοίων κινδύνων ...

*Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια. Ἦχος πλ. α΄ Χαίροις ἀσκητικῶν.*

Χαίροις Βαρθολομαῖε σοφέ, τῶν Ἀποστόλων ἱερὸν ἐγκαλλώπισμα, σοφίας θείας δοχεῖον, ὁ τοῦ Δεσπότου Χριστοῦ, προσδραμὼν τῷ λόγῳ θερμῷ ἔρωτι· καὶ Τούτου ἀκόλουθος, χρηματίσας θερμότατος, οἰκονομίας, τῆς Αὐτοῦ τὴν ἀπόρρητον, εἰσδεχόμενος, διδαχὴν θείῳ Πνεύματι· ὅθεν πᾶσιν ἀπήστραψας, τὸ φέγγος τῆς πίστεως, ὡς ἑωσφόρος τῆς δόξης, τοῦ σαρκωθέντος Θεοῦ ἡμῶν. Αὐτὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στ.: *Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτοῦ.*

Χαίροις Βαρθολομαῖε σοφέ, τοῦ Παρακλήτου παναρμόνιον ὄργανον, τὸ στόμα τῆς ἀληθείας, Εὐαγγελίου Χριστοῦ, ὑποφήτης θεῖος καὶ σοφώτατος· ἡ γλῶσσα ἡ εὔλαλος, τῆς Χριστοῦ σωματώσεως, τῆς τῶν ἀνθρώπων, σωτηρίας διδάσκαλος, καὶ τῆς χάριτος, θησαυρὸς πολυτίμητος· ἥλιος ὁ πολύφωτος, τῆς θείας χρηστότητος, τῆς εὐσεβείας ὁ λύχνος, ὁ φαεινὸς καὶ λαμπρότατος· Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Στ.: *Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν Αὐτοῦ ἀναγγέλει τὸ στερέωμα.*

Χαίροις Βαρθολομαῖε σοφέ, ὁ τοῦ Σωτῆρος μιμητὴς καὶ ὁμότροπος, Αὐτὸν γὰρ ἀνακηρύττων, ἐσκοτισμένοις λαοῖς, σταύρωσιν ὑπέστης ὡς ὁ Κύριος· ἐντεῦθεν τὸ θεῖόν σου, καὶ σεβάσμιον

λείψανον, διὰ θαλάσσης, πρὸς τὴν Δύσιν κατέπλευσε, καὶ ἐξέπληξε, τοὺς ὁρῶντας τῷ θαύματι· ὅθεν σε ὡς Ἀπόστολον, Χριστοῦ μεγαλύνομεν, καὶ ἀληθῆ ὑπηρέτην, Αὐτοῦ τῆς θείας κενώσεως, Αὐτὸν δυσωποῦντα, ταῖς ψυχαῖς ἡμῶν διδόναι, τὸ μέγα ἔλεος.

*Δόξα. Ἦχος πλ. δ΄.*

Τοῦ Παρακλήτου τὸ θεῖον πῦρ, ἐν τῇ γλώσσᾳ περιφέρων, τῆς ἀσεβείας τὴν ὕλην κατέφλεξας, καὶ τῶν ἐθνῶν τὰς ἀγέλας ἐφώτισας, Βαρθολομαῖε Ἀπόστολε· ὡς λαμπὰς γὰρ φαεινή, ἐκ Σιὼν ἐξέδραμες, τῆς αἰωνίου ζωῆς τὸ φῶς ἀναγγέλλων, καὶ πρεσβεύων ἀπαύστως, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον.*

Ἀνύμφευτε Παρθένε...

*Νῦν Ἀπολύεις, Τρισάγιον, Ἀπολυτίκιον. Ἦχος γ΄.*

Ἀπόστολοι Ἅγιοι, πρεσβεύσετε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

*Ἕτερον. Ὁ αὐτός.*

Ἀπόστολε ἅγιε Βαρθολομαῖε, πρέσβευε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

*Δόξα. Ἕτερον. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Χριστῷ ἠκολούθησας, Βαρθολομαῖε σοφέ, καὶ Τούτου Ἀπόστολος, καὶ ὑπηρέτης σοφός, σαφῶς ἐχρημάτισας· ὅθεν τῆς εὐσεβείας, κατασπείρας τὸν λόγον, σύμμορφος ἀνεδείχθης, τῶν παθῶν τοῦ

Κυρίου· ᾧ πρέσβευε δεόμεθα, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον.*

Τὸ ἀπ᾽ αἰῶνος ἀπόκρυφον...

*Ἀπόλυσις.*

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

*Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα. Ἦχος α΄. Τὸν τάφον Σου Σωτήρ.*

Ὡς ἤκουσας Χριστοῦ, τῆς φωνῆς τῆς ἁγίας, προσέδραμες Αὐτῷ, καταλείψας τὸν κόσμον, καὶ Τούτου μύστης ἔνθεος, τῆς Αὐτοῦ σωματώσεως, ἐχρημάτισας, Βαρθολομαῖε θεόφρον· ὅθεν πρέσβευε, ὑπὲρ ἡμῶν τῶν τελούντων, τὴν πάντιμον μνήμην σου.

*Θεοτοκίον.*

Ὡς ἔτεκες Χριστὸν, τὸν Θεὸν τῶν ἁπάντων, πεπλήρωκας Ἁγνή, Προφητῶν τὰς προῤῥήσεις· διὸ Σε μεγαλύνομεν, οἱ σωθέντες τῷ τόκῳ Σου, καὶ βοῶμεν Σοι, σὺν τῷ Ἀγγέλῳ τὸ χαῖρε, Ἀειπάρθενε, εὐλογημένη Μαρία, βροτῶν καταφύγιον.

*Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.*

Ἀποστόλων ἐμπρέπων, τοῖς προτερήμασι, τῇ οἰκουμένῃ ἐκλάμπεις, ὡς ἑωσφόρος ἀστήρ, καὶ τῆς πλάνης τὴν ἀχλύν, διώκεις ἔνδοξε· ὅθεν προσήγαγες Χριστῷ, τοὺς ἐξ ἐθνῶν λόγῳ τῷ σῷ, πιστεύσαντας τῷ

Κυρίῳ, Βαρθολομαῖε τρισμάκαρ· Ὅν ἐκδυσώπει ὑπὲρ πάντων ἡμῶν.

*Θεοτοκίον.*

Ἡ Θεὸν ἀπορρήτως, κυοφορήσασα, καὶ μετὰ τόκον παρθένος ἄφθορος μείνασα, τῶν ἀνθρώπων προσφυγὴ ὤφθης καὶ στήριγμα, καὶ Ἀγγέλων Βασιλίς, Θεοτόκε ἀληθῶς· διό Σε δοξολογοῦμεν, οἱ τῇ θερμῇ Σου πρεσβείᾳ, διὰ παντὸς Κόρη σωζόμενοι.

*Μετὰ τὸν Πολυέλεον, Κάθισμα. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.*

Ἡ τοῦ Πνεύματος χάρις τοῦ Παντουργοῦ, ὡς πυρίνη σοι γλῶσσα σῇ κορυφῇ, κατῆλθεν Ἀπόστολε, σὺν τοῖς ἄλλοις συμμύστοις σου, φρικτῶς ἐν ὑπερῴῳ, καὶ πλήρη σε ἔδειξε, σοφίας ὑπερσόφου, καὶ θείας ἐλλάμψεως· ὅθεν διαλάμπεις, ὥσπερ ἥλιος μέγας, ἐν πᾶσι τοῖς πέρασι, εὐσεβείας τοῖς δόγμασι, Βαρθολομαῖε θεσπέσιε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

*Θεοτοκίον.*

Ἡ Θεὸν τῶν ἁπάντων καὶ Ποιητήν, σωματώσασα Κόρη δίχα τροπῆς, ἁπάντων πεπλήρωκας, Προφητῶν τὰ κηρύγματα, καὶ τὸν Ἀδὰμ τῆς πάλαι, κατάρας ἀπήλλαξας, τὸ γένος τῶν ἀνθρώπων, πρὸς δόξαν ὑψώσασα· ὅθεν ὡς αἰτία, τῆς ἡμῶν σωτηρίας, ὑμνοῦμεν Πανύμνητε, καὶ πιστῶς προσκυνοῦμέν Σε, ἐκβοῶντες καὶ λέγοντες· πρέσβευε τῷ Σῷ Υἱῷ καὶ

Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἀνυμνοῦσιν ἐν πίστει, τὴν ἄρρητον δόξαν Σου.

*Οἱ Ἀναβαθμοί. Τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἦχου.*

*Προκείμενον. Είς πᾶσαν τὴν γῆν έξῆλθεν ὁ φθόγγος αύτοῦ καὶ είς τὰ πέρατα τῆς οίκουμένης τὰ ῥήματα αύτοῦ.*

*Στ.: Οἱ ούρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν Αύτοῦ άναγγέλει τὸ στερέωμα.*

*Εύαγγέλιον ἐκ τοῦ κατὰ Λουκᾶν· ζήτει τῇ η΄ Νοεμβρίου.*

*Ὁ Ν΄ Ψαλμός.*

*Δόξα.* Ταῖς τοῦ Ἀποστόλου…

*Καὶ νῦν.* Ταῖς τῆς Θεοτόκου…

*Ἰδιόμελον. Στ.: Ἐλεήμον, έλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός Σου…*

Τῷ τοῦ Πνεύματος φωτί, διαλάμπων πανταχοῦ, τῆς ἀσεβείας τὸ σκότος διέλυσας Βαρθολομαῖε Ἀπόστολε· καὶ υἱοὺς φωτὸς ἀπειργάσω, τοὺς πρὶν τέκνα όργῆς χρηματίζοντας, καὶ Χριστῷ προσήγαγες, ὡς ἐκλεκτὸν όψώνιον. Αύτὸν ἱκέτευε, ὑπὲρ τῶν τιμώντων σε.

*Οἱ Κανόνες· τῆς Θεοτόκου καὶ τοῦ Ἁγίου ὁ παρών· ποίημα Θεοφάνους.*

*Ὠδὴ α. Ἦχος β'. Ἐν βυθῷ κατέστρωσε.*

Ὁ προγνώστης πάντων καὶ Θεός, τὸ τῆς διανοίας σου, θεοειδὲς καθορῶν ἐξελέξατο, καὶ σὲ συνηρίθμησε, τῇ χορείᾳ Βαρθολομαῖε πανεύφημε, τῇ τῶν Ἀποστόλων, χάριτι λαμπρύνας τὴν καρδίαν σου.

Ἀρετῶν είς ὕψος ἀναβάς, γλῶσσαν τὴν πυρίπνοον, πυροειδῶς μερισθεῖσαν ἐπλούτησας, ὡς Χριστοῦ Ἀπόστολος, παρουσίᾳ τοῦ Παρακλήτου πανάριστε, τὴν τῆς ἀσεβείας ὕλην, δαπανῶσαν καὶ κουφότητα.

*Θεοτοκίον.*

Νεανίδων θείων ὁ χορός, ἐνθεαστικώτατα, ἐν γυναιξὶ Σε καλὴν ᾀσματίζουσι, Θεοτόκε Δέσποινα, καλλοναῖς ὡραϊζομένην θεότητος· τὸν καλλοποιὸν γὰρ Λόγον, ὑπέρ λόγον ἀπεκύησας.

*Ἕτερος τοῦ Ἁγίου, οὗ ἡ ἀκροστοιχίς· Βαρθολομαίῳ τὸν ὕμνον φέρω. Γερασίμου.*

*Ὠδὴ α'. Ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου.*

Βυθοῦ παραπτώσεων, τὸν νοῦν μου ὕψωσον Κύριε, καὶ λόγον μοι δώρησαι, ὅπως ὑμνήσω Χριστέ, τὸν Ἀπόστολον σοφὸν Βαρθολομαῖον, τῷ κόσμῳ κηρύξαντα, παντί Σε Δέσποτα.

Ἀκτῖσι τοῦ Πνεύματος, ὡς θεηγόρος Ἀπόστολος, λαμπρῶς αὐγαζόμενος, Βαρθολομαῖε σοφέ, κόσμῳ

ἔλλαμψας, ἀκτὶς ὡς οὐρανία, καὶ πλάνης διέλυσας, πᾶσαν σκοτόμαιναν.

Ῥημάτων ἡ δύναμις, τῶν ἱερῶν σου Ἀπόστολε, είς πᾶσαν ἐξέδραμε, τήν γῆν κηρύττουσα, ἐνανθρώπησιν, τὴν θεἰαν τοῦ Σωτῆρος, δι᾽ ἧς ἀνεκλήθημεν, πρὸς τὰ οὐράνια.

*Θεοτοκίον.*

Θαυμάτων ἐπέκεινα, θαῦμα τὸ Σὸν τὸ πανθαύμαστον, ὑπάρχει Πανύμνητε, ἐκπλῆττον ἅπαντας· ὅτι ἔτεκες, Θεὸν σεσαρκωμένον, καὶ ἄφθορος ἔμεινας, μετὰ τὴν κύησιν.

*Ὠδὴ γ΄. Ἐξήνθησεν ἡ ἔρημος.*

Ὡς πηγὴ προελήλυθας, σωτηρίου νάματος, Βαρθολομαῖε πάντιμε, καὶ πολύχουν τὸν καρπὸν ἤνεγκας, ἐθνῶν τὴν σωτηρίαν ἀξιάγαστε.

Τῷ ἅλατι τῆς χάριτος, τῶν είδώλων ἔπαυσας, τὴν σηπεδόνα Πάνσοφε, τῷ νοστίμῳ λόγῳ τῆς πίστεως, τὰς καρδίας ἡδύνων τῶν τιμώντων σε.

*Θεοτοκίον.*

Ἐφάνης καθαρότητι, ὡσεὶ κρίνον Δέσποινα, τῶν ἀκανθῶν ἐκλάμψασα, λαμπηδόσι τῆς παρθενίας Σου, ἐν μέσῳ Θεοτόκε πανσεβάσμιε.

*Ἕτερος. Τοὺς Σοὺς ὑμνολόγους.*

Ὁ πάντων Σωτήρ σε προσκαλέσας, είδὼς τὴν καρδίαν σου σοφέ, πρὸς μαθητεἰαν ἔνθεον,

Βαρθολομαῖε πάνσοφε, προθύμως ἐγκατέλιπες, τοὺς προσηκόντας σοι ἅπαντας.

Λαμπόμενος φέγγει ἀπροσίτῳ, συνὼν καὶ διάγων εὐσεβῶς, Χριστῷ τῷ Παντοκράτορι, ὡς ἱερὸς Ἀπόστολος, Βαρθολομαῖε πάνσοφε, φωστὴρ λαμπρὸς ἐχρημάτισας.

Οὐράνιον φρόνημα πλουτίσας, ὡς ἄλλος θεόφρων οὐρανός, ὡς ὁ Δαβὶδ ἐφθέγξατο, Βαρθολομαῖε πάνσοφε, τοῦ σαρκωθέντος πέφηνας, μύστης καὶ θεῖος διάκονος.

*Θεοτοκίον.*

Μαρίαν τὴν Ἄχραντον Παρθένον, ὑμνήσωμεν ἅπαντες πιστοί· Αὔτη γὰρ σωματώσασα, ὑπερφυῶς τὸν Κύριον, πάντας ἡμᾶς ἐῤῥύσατο, τῆς τοῦ Ἀδὰμ παραβάσεως.

*Κάθισμα τοῦ ἀπ. Βαρθολομαίου. Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Ὡς οὐρανὸς περικαλὴς διηγήσω, Βαρθολομαῖε ἐπὶ γῆς θείαν δόξαν, τῆς τοῦ Θεοῦ σαρκώσεως πανεύφημε, φαίνων ὥσπερ ἥλιος, τὰς ἐν ζόφῳ καρδίας, λύων τὴν σκοτόμαιναν, τῶν κακίστων δαιμόνων· ἀλλὰ εὐχαῖς σου φώτισον ἡμᾶς, σοῦ τὴν φωσφόρον τελοῦντας πανήγυριν.

*Ἕτερον τοῦ ἀπ. Βαρνάβα. Ἦχος πλ. δ'. Αὐλῶν ποιμενικῶν.*

Τοῦ νόμου τὴν σκιάν, σὺ λιπὼν ὡς ἐχέφρων, τῇ χάριτι φοιτᾷς, θεοφόρε Βαρνάβα, κατὰ πόλιν καὶ

χώραν, τοῦ σταυρωθέντος φέρων τὸ ὄνομα, θαύμασι καὶ σημείοις, τοὺς ἀπειθοῦντας πρὸς τὴν ἀλήθειαν, καθοδηγήσας ὤφθης ἐν Χριστῷ, τοῦ κόσμου παράκλησις.

*Θεοτοκίον. Ὁ αὐτός. Τὸ προσταχθὲν μυστικῶς.*

Τὸν ἀπερίληπτον Θεοῦ Υἱὸν καὶ Λόγον, ἀνερμηνεύτως ὑπὲρ νοῦν ἐκ Σοῦ τεχθέντα, Θεοτόκε ἱκέτευε σὺν τοῖς Ἀποστόλοις, εἰρήνην τῇ οἰκουμένῃ εἰλικρινῆ, βραβεῦσαι καὶ τῶν πταισμάτων δοῦναι ἡμῖν, πρὸ τοῦ τέλους διόρθωσιν, καὶ βασιλείας οὐρανῶν, δι’ ἄκραν ἀγαθότητα, ἀξιῶσαι τοὺς δούλους Σου.

*Ὠδὴ δ’. Ἐλήλυθας ἐκ Παρθένου.*

Κατήργησας, τῷ Σταυρῷ τοῦ Κυρίου φραξάμενος, δαιμόνων τὸ φρύαγμα, Βαρθολομαῖε πανάριστε, τούτων ψυχόλεθρον, ἀπάτην ἀποδιώξας τῷ κηρύγματι.

Φῶς τοῦ κόσμου, τὸ τῆς δόξης τῆς θείας ἀπαύγασμα, Χριστὸς σε ἀνέδειξε, Βαρθολομαῖε θεόληπτε· πᾶσαν γὰρ κατηύγασας, θεογνωσίᾳ τὴν κτίσιν παμμακάριστε.

*Θεοτοκίον.*

Ἡ τῆς Εὔας, Θεομῆτορ κατάρα τῷ τόκῳ Σου, λέλυται Πανάμωμε· σεσαρκωμένον γὰρ τέτοκας, Λόγον τὸν ἀΐδιον, τὸν εὐλογίαις τὸν κόσμον στεφανώσαντα.

*Ἕτερος. Τὴν ἀνεξιχνίαστον.*

Ἄνωθεν δεξάμενος ὑπερφυῶς, ἐν πυρίνῃ γλώσσῃ Ἀπόστολε, ἐν ὑπερῴῳ, τὴν τοῦ Πνεύματος ἰσχύν, σὺν τοῖς συναποστόλοις σου, ῥήτωρ Βαρθολομαῖε γέγονας.

Ἴσχυσας σθενούμενος θείᾳ ῥοπῇ, ἐν Ἰνδοῖς κηρύξαι τὸν Ἰησοῦν, Βαρθολομαῖε, καὶ φωτίσαι τῷ φωτί, τῆς θείας ἐπιγνώσεως, τοὺς ἐν ἀγνωσίᾳ Ἀπόστολε.

Ὡς τῆς εὐσεβείας ὑφηγητής, τοὺς ἐν τῇ ἀπάτῃ καθεύδοντας, Βαρθολομαῖε, ὁδηγεῖς πρὸς τὸν Χριστόν, τῷ λόγῳ τῷ τῆς χάριτος, καὶ τῇ τῶν θαυμάτων λαμπρότητι.

*Θεοτοκίον.*

Τὸν ἀπεριόριστον φύσει Θεόν, ἐν γαστρὶ Παρθένε ἐχώρησας, ἀνερμηνεύτως, καὶ ἐκύησας Αὐτόν, Θεὸν ὁμοῦ καὶ ἄνθρωπον, σῴζοντα φθορᾶς τὸ ἀνθρώπινον.

*ᾨδὴ ε'. Μεσίτης Θεοῦ.*

Ἀκτίστῳ φωτί, δι᾿ ἡμᾶς ἐν κτίσματι φανέντι Χριστῷ, πρωτουργῶς ὡμίλησας, Τούτῳ συγγινόμενος Ἀπόστολε, καὶ ταῖς θείαις ἀκτῖσι, ταῖς παρ᾿ Αὐτοῦ λαμπόμενος.

Ὡς δρόσος Θεοῦ, τοῖς ἀνθρώποις ἴαμα κομίζουσα, ἐν τῷ κόσμῳ πέφηνας, ὦ Βαρθολομαῖε, παμμακάριστε, καὶ τὴν γῆν τῆς ἀσεβείας, προφητικῶς κατέστρεψας.

*Θεοτοκίον.*

Ἰδοὺ ἐν γαστρί, Θεοτόκε Πάναγνε Χριστὸν τὸν Θεόν, ὑπὲρ λόγον ἔσχηκας, ὥσπερ Ἠσαΐας προηγόρευσεν, ὑπὲρ φύσιν δὲ Τοῦτον, Θεογεννῆτορ τέτοκας.

*Ἕτερος. Ἐξέστη τὰ σύμπαντα.*

Ὁ λόγος σου πάνσοφε, ὡς δρόσος ὤφθη ἴαμα, κατὰ Ἠσαΐαν Βαρθολομαῖε, τοῖς τῇ ἀπάτῃ νοσοῦσι πρότερον, οὕς καὶ θεραπεύσας ψυχικῶς, τῷ Χριστῷ προσήγαγες, θεηγόρε Ἀπόστολε.

Ναμάτων τοῦ Πνεύματος, ζωοποιῶν πληρούμενος, οἷα ποταμὸς θεῖος προῆλθες, Βαρθολομαῖε ἐκ τῆς Σιὼν μυστικῶς, καὶ τὴν οἰκουμένην ὡς φησίν, ἡ Γραφὴ κατήρδευσας, τῇ πλημμύρᾳ τῆς χάριτος.

Ὑπέστης Ἀπόστολε, ὡς ὁ Σωτὴρ τῆς κτίσρως, σταύρωσιν στεῤῥεῶς Βαρθολομαῖε, καὶ τῆς ἀπάτης πᾶσαν καθεῖλες ἰσχύν, καὶ Χριστῷ παρέστης ἐν χαρᾷ, οἷα Τούτου σύμμορφος, καὶ Ἀπόστολος ἔνθεος.

*Θεοτοκίον.*

Μὴ φλέξας τὴν μήτραν Σου, ὁ πῦρ ὑπάρχων Κύριος, ᾤκησεν ἐν Σοὶ ἀναλλοιώτως, καὶ ἐξ αἱμάτων Ἁγνὴ προῆλθε τῶν Σῶν, ἄνθρωπος ὁμοῦ τε καὶ Θεός, καὶ βροτῶν ἐθέωσε, τὴν φθαρεῖσαν ὑπόστασιν.

*Ὠδὴ ϛ'. Ἐν ἀβύσσῳ πταισμάτων.*

Τῶν θαυμάτων τὴν χάριν δεξάμενος, καὶ τῶν ἰαμάτων πλουτήσας ἐνέργειαν, Βαρθολομαῖε πάνσοφε, τῶν ἐθνῶν τὰς ἀγέλας ἐζώγρησας.

Ἡ πυρίνη σου γλῶσσα Πανεύφημε, πᾶσαν τὴν ἀπάτην ὡς χόρτον κατέφλεξε, τῶν δὲ πιστῶν ἐλάμπρυνε, τὰς καρδίας τῷ θείῳ κηρύγματι.

*Θεοτοκίον.*

Οὐρανὸν ὁ τανύσας βουλήματι, οὐρανὸν ἐπίγειον ἄλλον ἀπέδειξε, Σὲ Θεομῆτορ Ἄχραντε, καὶ ἐκ Σοῦ ἀνατείλας ἐπέφανεν.

*Ἕτερος. Τὴν θείαν ταύτην.*

Νόμον κηρύττων καινότατον, τὸν τοῦ Εὐαγγελίου Ἀπόστολε, ἀπίστοις ἔθνεσι, Βαρθολομαῖε ἐτέλεσας, καινοὺς ὡς ἀφιμένους, πλάνης παλαίωσιν.

Ὁ οὐρανὸς ὁ πολύφωτος, ὡς ψάλλει ὁ Δαβίδ ὁ θεόπνευστος, ἀνευφημείσθω μοι, Βαρθολομαῖος ὁ πάνσοφος, ὁ τοῦ Χριστοῦ τὴν δόξαν, ἐκδιηγούμενος.

Νεοποιῶν τῷ κηρύγματι, καρδίας χερσωθείσας Ἀπόστολε, σπόρον σωτήριον, ἐν ταύταις μάκαρ κατέβαλες, ἐξ οὗ ζωὴ ἁγία, ἐκαρποφόρησεν.

*Θεοτοκίον.*

Φωτὸς νεφέλη ὑπάρχουσα, ἐδείχθης Θεοτόκε Πανύμνητε, ζωῆς τὸν ἥλιον, Χριστὸν ἐν κόλποις κατέχουσα, παρέχοντα τῷ κόσμῳ, ζωὴν καὶ λύτρωσιν.

*Κοντάκιον. Ἦχος δ'. Ἐπεφάνης σήμερον.*

Ὤφθης μέγας ἥλιος τῇ Ἐκκλησίᾳ, διδαγμάτων λάμψεσι, καὶ θαυμασίων φοβερῶν, φωταγωγῶν τοὺς τιμῶντάς σε, Βαρθολομαῖε Κυρίου Ἀπόστολε.

*Ὁ Οἶκος.*

Ἐμυήθης τοῦ Λόγου μαθητά, τοὺς λόγους τοὺς ἁγίους, καὶ τοὺς πάλαι ἀλογίᾳ δεινῶς καθυπαχθέντας, τέκνα εἰργάσω τοῦ φωτός. Ἥπλωσας εἰς βάθη ἀγνωσίας τὰ σεπτὰ καὶ ἱερά σου δίκτυα, καὶ ἔλαβες τὰ ἔθνη ὑπήκοα, τὰς κεχερσωμένας ἀπάτῃ διανοίας ἐνέωσας τῷ θείῳ ἀρότρῳ. Ἐξήρανας τὸν φλογμὸν τῆς πολυθεΐας, δροσισμῷ σου τῆς φαιδρᾶς θεηγορίας υἱοὺς Θεοῦ, τοὺς πρὶν ὀργῆς τέκνα ἐργασάμενος, Βαρθολομαῖε Κυρίου Ἀπόστολε.

*Συναξάριον.*

Τῇ ΙΑ' τοῦ αὐτοῦ μηνός, μνήμη τῶν Ἁγίων Ἀποστόλων Βαρθολομαίου καὶ Βαρνάβα.

*Στίχοι·*

*Καὶ Σὸς μαθητής, Χριστέ, Βαρθολομαῖος,*
*Μιμούμενός Σε, σταυρικὸν φέρει πάθος.*
*Ὑπὲρ λίθον σάπφειρον, ὡς Γραφὴ λέγει,*
*Τοὺς συντρίβοντας εἶχε Βαρνάβας λίθους.*
*Ἑνδεκάτῃ σταύρωσαν ἐρίφρονα Βαρθολομαῖον.*

*Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.*

*ᾨδὴ ζ΄. Ἀντίθεον πρόσταγμα.*

Τὸ μέγα μυστήριον Βαρθολομαῖε, τῆς θείας σαρκώσεως, τῷ κόσμῳ ἐφανέρωσας, τὸ πᾶσιν ἀχώρητον καὶ ἀκατάληπτον, μόνοις δὲ χωρούμενον πιστοῖς, ἀνερμηνεύτως καὶ πιστευόμενον.

Ὡς λίθος πανάγιος Βαρθολομαῖε, ἀγνῶς κυλιόμενος τῆς πλάνης τὸ ὀχύρωμα, εὐτόνως κατέστρεψας, τῆς Ἐκκλησίας δέ, ἄρρηκτος θεμέλιος φανείς, διαφυλάττεις ταύτην ἀκράδαντον.

*Θεοτοκίον.*

Ἰθύνουσα Πάναγνε τὸν ἐμὸν βίον, πρὸς τὸν Σὸν πανεύδιον, λιμένα καθοδήγησον, Θεὸν ἡ κυήσασα, τῶν ἀγαθῶν τὴν πηγήν, τὸν πᾶσι παρέχοντα πιστοῖς, τὴν ἀφθαρσίαν τῆς ἀγαθότητος.

*Ἕτερος. Οὐκ ἐλάτρευσαν.*

Ἐκ χειλέων σου, ζωῆς ὁ λόγος πρόεισιν, ὡς νᾶμα ἥδιστον, Βαρθολομαῖε σοφέ, ἀρδεύων ἐν Πνεύματι, τοὺς πίστει κράζοντας· Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Ῥῶσιν σώματος, καὶ ἴασιν σωτήριον, ψυχῆς δωρούμενος, Βαρθολομαῖε σοφέ, τοῖς πρῴην τοῖς πάθεσι, νεκροῖς καὶ πταίσμασι, τὴν αἰώνιον, ζωὴν πᾶσιν ἐκήρυξας, καὶ ψυχῶν τὴν σωτηρίαν.

Ὡς Ἀπόστολος, καὶ μυστολέκτης ἄριστος, τῆς σωματώσεως, τοῦ τὸν ἁπάντων Θεοῦ, σταυρὸν χαίρων ἤνεγκας, Βαρθολομαῖε βοῶν· Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

*Θεοτοκίον.*

Γένος Δέσποινα, βροτῶν διὰ τοῦ τόκου Σου, πίστει διέσωσται, τῆς ἀρχεγόνου ἀρᾶς· διὸ καὶ δοξάζει Σε, πιστῶς κραυγάζον Σοι· χαῖρε Ἄχραντε, Ἀγγέλων ἡ Βασίλισσα, καὶ βροτῶν ἡ σωτηρία.

*Ὠδὴ η'. Κάμινος ποτέ, πυρὸς.*

Μέγα καὶ μικρόν, πολύ τε καὶ ὀλίγον, τὸ τοῦ Σωτῆρος Εὐαγγέλιον, πανσόφως ἐδίδαξας, τὰ μεγάλα καὶ παράδοξα, συντετμημένοις ῥήμασι, πᾶσι διασημαῖνον, Βαρθολομαῖε θεόσοφε.

Ὥσπερ ποταμός, Σιὼν ἐξωρμημένος, τῆς Ἐκκλησίας τὰ συστήματα, ποτίζων πανόλβιε, τὸν χειμάρρουν τῆς θείας τρυφῆς, ἐξέπιες φανότατα, κράζων· ὑπερυψοῦτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

*Θεοτοκίον.*

Ἵνα τὴν ἀράν, τὴν πρώτην ἀφανίσῃς, καὶ τοῦ θανάτου τὸ κατάκριμα, τῆς πάλαι προμήτορος, ἐκ Παρθένου Θεομήτορος, Λόγε Θεοῦ γεγέννησαι, πᾶσι δεδωρημένος, ἀθανασίαν ἀνώλεθρον.

*Ἕτερος. Παῖδας εὐαγεῖς.*

Ἔδραμες εἰς σύμπασαν, τὴν κτίσιν, Βαρθολομαῖε θείῳ Πνεύματι κινούμενος, καὶ Ἰνδῶν κατέλαβες, χώραν τὴν καχέσπερον, καὶ ἐν αὐτῇ ἀνέτειλας φῶς τὸ σωτήριον, τὸν Κύριον ὑμνεῖτε κραυγάζων, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ῥώμῃ θεϊκῇ ἐσκοτισμένοις, λαοῖς διερχόμενος Ἀπόστολε, ἐν αὐτοῖς τὸν ἥλιον, τῆς δόξης τὸν Κύριον, Βαρθολομαῖε ἔδειξας καὶ ψάλλων ἔλεγες· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοῦς αἰῶνας.

Ἀπὸ τῆς Ἑώας σοῦ τὸ σῶμα, δυνάμει τοῦ Παναγίου θείου Πνεύματος, θάλασσαν διέπλευσεν, καὶ εἰς Δύσιν ἔφθασε, Βαρθολομαῖε πάνσοφε ἐκπλῆττον ἅπαντας, καὶ βλύζον ἰαμάτων πελάγη, τοῖς ὑπερυψοῦσι, Χριστὸν εἰς τοὺς αἰῶνας.

*Θεοτοκίον.*

Σκέπη καὶ ἀντίληψις ὑπάρχεις, Παρθένε οἷαπερ Μήτηρ τοῦ Παντάνακτος· ὅθεν σκέπε πάντοτε, τῇ θερμῇ πρεσβείᾳ Σου, τὴν Ἐκκλησίαν Ἄχραντε τοῦ Σοῦ Υἱοῦ καὶ Θεοῦ, προστρέχουσαν πιστῶς τῇ Σῇ σκέπῃ, καὶ ὑπερυψοῦσαν, Χριστὸν εἰς τοὺς αἰῶνας.

*ᾨδὴ θ'. Ἀνάρχου Γεννήτορος.*

Τοῦ Λόγου γενόμενος, αὐτόπτης καὶ διάκονος, μαθητής τε καὶ κήρυξ θεοπτικώτατος, ἔνθα νῦν ὑπάρχει ὁ Λόγος, σὺ κατοικεῖν, ὄντως ἠξιώθης, ὡς Αὐτὸς ὑπέσχετο, ἀψευδῶς ὁ Ὑπεράγαθος.

Ὡς νῦν παριστάμενος, τῷ θρόνῳ τοῦ Δεσπότου σου, καὶ ἐκεῖθεν ἀκτῖσι περιλαμπόμενος, ὦ Βαρθολομαῖε θεόφρον, τοὺς ὑμνητάς, τοὺς σοὺς ἐποπτεύοις, παθῶν ἐκλυτρούμενος, καὶ ποικίλων περιστάσεων.

*Θεοτοκίον.*

Ὡς ὄρθρος εὐρέθης πρωϊνός, ἐν τῇ τοῦ βίου νυκτί, παρθενίας ἀκτῖσι περιαστράπτουσα· τὴν ἀνατολὴν γὰρ ἡλίου, τοῦ νοητοῦ τῆς δικαιοσύνης ἡμῖν ἐφανέρωσας, Θεομῆτορ πανσεβάσμιε.

*Ἕτερος. Ἅπας γηγενής.*

Ἴθυνας σοφέ, τὰ σὰ διαβήματα, ἐνθέῳ ἔρωτι, πρὸς Χριστὸν τὸν Κύριον, οἷα διάκονος Τούτου ἔνθεος, καὶ ἱερὸς Ἀπόστολος, Βαρθολομαῖε σοφέ, καὶ τῆς δόξης, γέγονας συμμέτοχος, τῆς Αὐτοῦ ἐκτελέσας τὸν δρόμον σου.

Μύστης ἀκρινής, Χριστοῦ τῆς σαρκώσεως, ὤφθης Ἀπόστολε, Τούτῳ συγγινόμενος, καὶ συνδιάγων καὶ συνεπόμενος, καὶ Τούτου τὸ σωτήριον, πᾶσιν κατήγγειλας· διὰ τοῦτο, τῆς ὑπὲρ κατάληψιν, ἠξιώθης λαμπρότητος Ἅγιε.

Ὄμβοις ἱεροῖς, τοῦ θείου κηρύγματος, σοφῶς κατήρδευσας, πλείστας χώρας ἔνδοξε, πρὸς εὐκαρπίαν τὴν ὑπερκόσμιον· διὸ κἀμὲ τῷ ὕδατι, τῆς θείας χάριτος, δυσωπῶ σε, πότισον Ἀπόστολε, εὐφημοῦντα τοὺς θείους ἀγῶνάς σου.

*Θεοτοκίον.*

Ὕμνοις ἱεροῖς, τὴν μόνην Πανύμνητον, Παντοβασίλισσαν, πάντες μακαρίσωμεν· τὸν Βασιλέα Χριστὸν γὰρ ἔτεκε, καὶ βασιλείαν ἤνοιξεν, ἡμῖν οὐράνιον, οἷα Μήτηρ, Χριστοῦ τοῦ Παντάνακτος, καὶ ἡμῶν προστασία καὶ ἔφορος.

*Ἐξαποστειλάριον κοινόν τῶν Ἀποστόλων. Γυναῖκες ἀκουτίσθητε.*

Βαρθολομαῖος σήμερον, Βαρνάβας ὁ θεόληπτος, ἐν τῇ σεπτῇ αὐτῶν μνήμῃ, νῦν παρ' ἡμῶν κατὰ χρέος, λαμπρῶς ἀνευφημείσθωσαν, ὡς τοῦ Χριστοῦ Ἀπόστολοι, καὶ μαθηταὶ πρεσβεύοντες, ὑπὲρ ἡμῶν τῶν τελούντων, τὴν ἱερὰν αὐτῶν μνήμην.

*Ἕτερον τοῦ ἁγίου Βαρθολομαῖου. Ὅμοιον.*

Βαρθλομαῖε πάνσοφε, αὐτόπτα καὶ Ἀπόστολε, τοῦ Βασιλέως τῆς δόξης, καὶ γνήσιε ὑπηρέτα, ἀπαύστως καθικέτευε, Χριστὸν τὸν ἐλεήμονα, δοῦναι πταισμάτων ἄφεσιν, καὶ ἐλεῆσαι τοὺς πόθῳ, τὴν μνήμην σου ἐκτελοῦντας.

*Θεοτοκίον.*

Μαρία καθαρώτατον, χρυσοῦν θυμιατήριον, τῆς ἀχωρήτου Τριάδος, δοχεῖον γεγενημένη, ἐν ᾧ Πατὴρ ηὐδόκησεν, ὁ δὲ Υἱὸς ἐσκήνωσε, καὶ Πνεῦμα τὸ πανάγιον, ἐπισκιάσαν Σοι Κόρη, ἀνέδειξε Θεοτόκον.

*Εἰς τοὺς Αἴνους, ψάλλομεν Στιχηρὰ Προσόμοια δ΄. Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.*

Τῷ σαρκωθέντι δι' οἶκτον εἰς σωτηρίαν ἡμῶν, προσῆλθες μετὰ πόθου, σοφὲ Βαρθολομαῖε, καὶ θεῖος ὑπηρέτης καὶ μύστης Αὐτοῦ, καὶ Ἀπόστολος πέφηνας, καὶ παρ' Αὐτοῦ ὑπεδέξω τὴν δωρεάν, τῶν χαρίτων τῶν τοῦ Πνεύματος.

Ἐν ὑπερῴῳ πυρίνῃ γλώσσῃ Ἀπόστολε, σαφῶς τοῦ Παρακλήτου, ὑπεδέξω τὴν χάριν, σὺν τοῖς

συναποστόλοις καὶ ῥήτωρ σοφός, ἀληθῶς ἀναδέδειξαι, Βαρθολομαῖε, κηρύττων πάσῃ τῇ γῇ, τὰ σωτήρια διδάγματα.

Ἐν τοῖς Ἰνδοῖς παρεγένου ὡς φῶς Ἀπόστολε, καὶ τὴν ζοφώδη πλάνην, διαλύσας τῷ λόγῳ, τὸν ἥλιον τῆς δόξης, Χριστὸν τὸν Θεόν, ἀνεκήρυξας ἔνδοξε, καταφωτίζων καρδίας τε καὶ ψυχάς, φωτισμῷ τῆς θείας πίστεως.

Ἐν τῷ Σταυρῷ προσηλώθης ὡς ὁ Δεσπότης Χριστός, σοφὲ Βαρθολομαῖε, καὶ τῆς Τούτου εἰκόνος, σύμμορφος ἐδείχθης καὶ κοινωνός, ὡς Ἀπόστολος ἔνθεος· Ὃν ἐκδυσώπει ἀσπαύστως ὑπὲρ ἡμῶν, τῶν τιμώντων τοὺς καμάτους σου.

*Δόξα. Ἦχος πλ. α΄.*

Ἀποστολικῇ ἠγλαϊσμένος χάριτι, ὡς τοῦ Σωτῆρος θεῖος Μαθητής, σοφὲ Βαρθολομαῖε, εἰς φῶς ἐθνῶν ἐκ Σιὼν ἐξῆλθες, κατὰ τὴν θείαν ῥῆσιν· καὶ τοῦ Σωτῆρος τὴν σάρκωσιν κηρύξας, τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις, υἱοὺς φωτὸς εἰργάσω καὶ κληρονόμους Χριστοῦ, τούς δεξαμένους τὸν λόγον σου· καὶ νῦν τῶν πόνων τὰ γέρα δρεπόμενος, καὶ θείας δόξης ἀπολαύων, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον.*

Μακαρίζομέν Σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν Σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄρρηκτον, τὴν ἀρραγῆ προστασίαν, καὶ καταφυγήν τῶν ψυχῶν ἡμῶν.

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

*Τὰ συνήθη.*
*Προκείμενον: Είς πᾶσαν τὴν γῆν...*
*Στ.: Οἱ ούρανοὶ διηγοῦνται...*
*Ὁ Ἀπόστολος·* Ἀδελφοί, ὁ Θεὸς ἡμᾶς τοὺς Ἀποστόλους, ἐσχάτους ἀπέδειξεν... *(ζήτει Κυριακῇ Δεκάτῃ).*
*Εὐαγγέλιον· ἐκ τοῦ κατὰ Ματθαῖον·* Εἶπεν ὁ Κύριος τοῖ ἑαυτοῦ Μαθηταῖς· ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου... *(ζήτει Ἰανουαρίου ιη΄).*
*Κοινωνικὸν.*
Είς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ είς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. Ἀλληλούϊα.
*Μεγαλυνάριον.*
Χαίροις Ἀποστόλων ἡ καλλονή, μύστα τοῦ Κυρίου, καὶ Ἀπόστολε ἱερέ· χαίροις θεηγόρε, σοφὲ Βαρθολομαῖε, ἡμῶν πρὸς τὸν Δεσπότην, μεσίτης ἔνθεος.

*Δίστιχον.*
*Βαρθολομαῖον τὸν σοφὸν θεηγόρον,*
*Γεράσιμος ὕμνησεν ἐνθέοις ὕμνοις.*